FRANCKESCHE STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Xenophontis Memorabilia Socratis Graece

### Xenophon

### Gothae, MDCCLXXXVIII.

### VD18 12986496

Caput III. Fratres inimicitias exercentes placat.

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downladed and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-193062

Visual Library

μένοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν, εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι.

---

## CAPVT III.

*Fratres inimicitias exercentes placat.*

Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην,
ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρί-
μω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρε-
κράτην, εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, οὐ
δήπου καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων, οἳ
χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφοὺς c),
καὶ ταῦτα, τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ
φρονίμου· καὶ τῶν μὲν βοηθείας δεομένων,
τοῦ δὲ βοηθεῖν δυναμένου· καὶ πρὸς τούτοις
τῶν μὲν, πλειόνων ὑπαρχόντων, τοῦ δ', ἑνός.
θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀ- 2
δελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν
ἀδελφῶν κέκτηται, τοὺς δὲ πολίτας οὐχ ἡγεῖ-
ται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει,
ἀλλ' ἐνταῦθα μὲν δύναται λογίζεσθαι, ὅτι
κρεῖττον σὺν πολλοῖς οἰκοῦντα, ἀσφαλῶς*) ἀρ-
κοῦντα ἔχειν, ἢ μόνον διαιτώμενον τὰ τῶν
πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι, ἐπὶ
δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. καὶ 3
οἰκέ-

c) Al. ἀδελφόν. *) τὰ hic inseruit Schüz. V. Cl.

οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνερ-
γοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν
δεόμενοι· τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ
ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελ-
4 φῶν δὲ οὐ γιγνομένους. καὶ μὴν πρὸς φιλίαν
μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι,
μέγα δὲ τὸ ὁμοῦ τραφῆναι· ἐπεὶ καὶ τοῖς
θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρό-
φων. πρὸς δὲ τούτοις καὶ οἱ ἄλλοι ἄνθρω-
ποι τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους ὄντας
τῶν ἀναδέλφων, καὶ ἧττον τούτοις ἐπιτίθεν-
5 ται. καὶ ὁ Χαιρεκράτης εἶπεν, ἀλλ᾽ εἰ μὲν,
ὦ Σώκρατες, μὴ μέγα εἴη τὸ διάφορον, ἴσως
ἂν δέοι φέρειν τὸν ἀδελφὸν, καὶ μὴ μικρῶν
ἕνεκα φεύγειν· (ἀγαθὸν γὰρ, ὥσπερ καὶ σὺ
λέγεις, ἀδελφὸς, ὢν οἷον δεῖ) ὁπότε μέν τοι
παντὸς ἐνδέοι, καὶ πᾶν τὸ ἐναντιώτατον εἴη,
6 τί ἂν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις; καὶ ὁ
Σωκράτης ἔφη, πότερα δὲ, ὦ Χαιρέκρατες,
οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ
σοί, ἢ ἔστιν, οἷς καὶ πάνυ ἀρέσκῃ; διὰ τοῦτο
γάρ τοι, ἔφη, ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμὲ
μισεῖν αὐτὸν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύνα-
ται, ἐμοὶ δὲ, ὅπου ἂν παρῇ, πανταχοῦ καὶ
ἔργῳ καὶ λόγῳ ζημία μᾶλλον ἢ ὠφέλειά ἐστιν.
7 ἆρ᾽ οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ
ἀνεπιστήμονι μὲν, ἐγχειροῦντι δὲ χρῆσθαι ζη-
μία ἐστὶν, οὕτω καὶ ἀδελφὸς, ὅταν τις αὐτῷ
μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστί;
8 πῶς δ᾽ ἂν ἐγὼ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπι-
στήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε
καὶ εὖ λέγειν τὸν εὖ λέγοντα, καὶ εὖ ποι-

εἶν

εἶν τὸν εὖ ποιοῦντα; τὸν μέν τοι καὶ λόγῳ
καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾷν, οὐκ ἂν δυ-
ναίμην οὔτ' εὖ λέγειν, οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ
πειράσομαι. καὶ ὁ Σωκράτης ἔφη, θαυμα- 9
στά γε λέγεις, ὦ Χαιρέκρατες, εἰ κύνα f)
μὲν, εἰ σοὶ ἦν ἐπὶ προβάτοις ἐπιτήδειοις, καὶ
τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ δὲ προσιόντι
ἐχαλέπαινεν, ἀμελήσας ἂν τοῦ ὀργίζεσθαι,
ἐπειρῶ εὖ ποιήσας πραΰνειν αὐτόν· τὸν δὲ ἀ-
δελφὸν, ὃν g) φῂς μὲν μέγα ἂν ἀγαθὸν εἶναι,
ὄντα πρός σε οἷον δεῖ, ἐπίστασθαι δὲ ὁμολογῶν
καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν, οὐκ ἐπιχειρεῖς μη-
χανᾶσθαι, ὅπως σοι ὡς βέλτιστος ᾖ; καὶ ὁ 10
Χαιρεκράτης, δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ
οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν, ὥστε Χαιρεφῶν-
τα ποιῆσαι πρὸς ἐμὲ οἷον δεῖ. καὶ μὴν οὐδέν γε
ποικίλον, ἔφη ὁ Σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ'
αὐτὸν, ὡς ἐμοὶ δοκεῖ, μηχανᾶσθαι· οἷς δὲ
καὶ σὺ ἐπίστασαι αὐτὸς, οἶμαι ἂν αὐτὸν ἁλόν-
τα περὶ πολλοῦ ποιεῖσθαί σε. οὐκ ἂν φθάνοις, 11
ἔφη, λέγων, εἴ τι ᾔσθησαί με φίλτρον ἐπιστά-
μενον, ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; λέγε δή
μοι, ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατερ-
γάσασθαι, ὁπότε θύοι, καλεῖν σε ἐπὶ δεῖπ-
νον; τί ἂν ποιοίης; δῆλον ὅτι κατάρχοιμι ἂν
τοῦ αὐτὸς, ὅτε θύοιμι, καλεῖν ἐκεῖνον. εἰ δὲ 12
βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε
ἀποδημοίης, ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποι-
οίης; δηλονότι πρότερος ἂν ἐγχειροίην ἐπιμε-
λεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη. εἰ δὲ 13



f) Al. εἰ κύων μὲν σοι ἦν.

g) ὃν vulgo abest.

βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυτὸν,
ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης;
δηλονότι καὶ τοῦτον πρότερος ὑποδεχοίμην ἂν,
ὁπότε ἔλθοι Ἀθήναζε. καὶ εἴ γε βουλοίμην
αὐτὸν προθυμεῖσθαι διαπράττειν μοι, ἐφ' ἃ
ἥκοιμι, δῆλον ὅτι καὶ τοῦτο δέοι ἂν πρότερον
14 αὐτὸν ἐκείνῳ ποιεῖν. πάντα ἄρα σύ γε τὰ
ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπε-
κρύπτου. ἢ ὀκνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς
φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς;
καὶ μὴν h) πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος
εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς
ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. εἰ μὲν οὖν
ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος εἶναι σοῦ
πρὸς τὴν φύσιν ταύτην i), ἐκεῖνον ἂν ἐπειρώ-
μην πείθειν πρότερον ἐγχειρεῖν, τῷ σε φίλον
ποιεῖσθαι. νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλ-
15 λον ἂν ἐξεργάσασθαι τοῦτο. καὶ ὁ Χαιρεκρά-
της εἶπεν, ἄτοπα λέγεις ὦ Σώκρατες, καὶ
οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ νεώτερον
ὄντα καθηγεῖσθαι. καί τοι τούτου γε παρὰ
πᾶσιν ἀνθρώποις τἀναντία νομίζεται, τὸν
πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ ἔργου καὶ λό-
16 γου. πῶς; ἔφη ὁ Σωκράτης. οὐ γὰρ καὶ ὁδοῦ
παραχωρῆσαι τὸν νεώτερον πρεσβυτέρῳ συν-
τυγχάνοντι πανταχοῦ νομίζεται, καὶ οὐ καθή-
μενον ὑπαναστῆναι, καὶ κοίτῃ μαλακῇ τιμῆσαι,
καὶ λόγῳ k) ὑπεῖξαι; ὦ ἀγαθὲ, μὴ ὄκνει,
ἔφη, ἀλλ' ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν·
καὶ

h) Vulg. καὶ μέν.

i) Stobaeus: φιλίαν. Mſ. πρᾶξιν. (πρὸς ταῦτα τὴν φύσιν, ἐκεῖνον conj. Schüz. V. Cl.)

k) λόγων Ern. ex conj. Valkenarii.

Franckesche Stiftungen zu Halle

καὶ πάνυ ταχύ σοι ὑπακούσεται. οὐχ ὁρᾷς,
ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος; τὰ μὲν γὰρ
πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις,
ἢ εἰ διδοίης τι· τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀν-
θρώπους προσφιλῶς χρώμενος μάλιστ᾽ ἂν κατερ-
γάσαιο. καὶ ὁ Χαιρεκράτης εἶπεν, ἐὰν οὖν 17
ἐμοῦ ταῦτα ποιοῦντος ἐκεῖνος μηδὲν βελτίων
γίγνηται; τί γὰρ ἄλλο, ἔφη ὁ Σωκράτης, ἢ
κινδυνεύσεις ἐπιδεῖξαι, σὺ μὲν χρηστός τε καὶ
φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ
ἄξιος εὐεργεσίας; ἀλλ᾽ οὐδὲν οἶμαι τούτων ἔσε-
σθαι. νομίζω γὰρ αὐτὸν, ἐπειδὰν αἴσθηταί
σε προκαλούμενον ἑαυτὸν εἰς τὸν ἀγῶνα τοῦτον,
πάνυ φιλονικήσειν l), ὅπως περιγένηταί σου
λόγῳ καὶ ἔργῳ εὖ ποιῶν. νῦν μὲν γὰρ οὕτως, 18
ἔφη, διάκεισθε, ὥσπερ, εἰ τὼ χεῖρε, ἃς ὁ
θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν,
ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν
ἀλλήλω· ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω
πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου
ἐμποδίζοιεν ἀλλήλω. οὐκ ἂν πολλὴ ἀμαθία
εἴη καὶ κακοδαιμονία, τοῖς ἐπ᾽ ὠφελείᾳ πεποιη-
μένοις ἐπὶ βλάβῃ χρῆσθαι; καὶ μὲν ἀδελφώ 19
γε, ὡς ἐμοὶ δοκεῖ, ὁ θεὸς ἐποίησεν ἐπὶ μείζονι
ὠφελείᾳ ἀλλήλοιν, ἢ χεῖρέ τε, καὶ πόδε, καὶ
ὀφθαλμὼ, καὶ τἄλλα, ὅσα ἀδελφὰ ἔφυσεν
ἀνθρώποις. χεῖρες μὲν γὰρ, εἰ δέοι αὐτὰς τὰ
πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν
δύναιντο· πόδες δ᾽ οὐδ᾽ ἂν ἐπὶ τὰ ὀργυιὰν διέ-
χοντα ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ, οἱ καὶ
δοκοῦν-

l) Φιλονεικήσειν Wels.